κείαν, πόρρω δὲ τὴν ἐπιτήδευσιν. ἰστέον τοίνυν, ὅτι ὁ κολακικὸς τρία ταῦτα θέλει ἔχειν στοχαστικόν, δεινόν, ἀνδρεῖον· στοχαστικὸν μὲν ἵνα στοχάζηται τῆς φύσεως τοῦ κολακευομένου ποίοις χαίρει, ἵνα αὐτοῖς κέχρηται· δεινὸν δὲ ἵνα εἰδείη τὰς ὁδούς, δι᾽ ὧν ὀφείλει ἐπὶ τὸ κολακεύειν ἰέναι· ἀνδρεῖον δὲ ἵνα ἐμμένῃ καὶ μὴ χαύνῳ φρονήματι κεχρημένος ἀπαναχωρεῖ, ἐπεὶ οὕτως καὶ φωρᾶται. ἐπεὶ τοίνυν πλείους εἰσὶ κολακεῖαι, δεῖ εἰπεῖν ποία κολακεία ἐστὶν ἡ ῥητορική· θέλοντες τοίνυν τοῦτο εὑρεῖν ὀφείλομεν λαβεῖν τά τε ὑποκείμενα τοῖς κόλαξι καὶ τὰς ἕξεις, δι᾽ ὧν ἐρχόμεθα ἐπὶ τοῦτο· ἰστέον τοίνυν, ὅτι ἡ ἐπιτήδευσις διττή ἐστιν, ἡ μὲν γνωστική, ἡ δὲ ζωτική· καὶ ἡ γνωστικὴ ἢ τὰς αἰτίας παραδίδωσιν ἢ οὔ, καὶ ἡ τὰς αἰτίας ἀποδιδοῦσα ἢ τῶν ἀεὶ καὶ ὡσαύτως ἐχόντων ἢ τῶν ῥευστῶν, ἀλλ᾽ ἡ μὲν περὶ τὰ ἀεὶ καὶ ὡσαύτως ἔχοντα καλεῖται ἐπιστήμη, ἡ δὲ περὶ τὰ ῥευστὰ τέχνη· ἡ δὲ μὴ τὰς αἰτίας ἀποδιδοῦσα ἐστὶν ἐμπειρία· πάλιν ἡ ζωὴ ἢ περὶ τὸ σῶμα ἢ περὶ τὴν ψυχὴν ἐξετάζεται καὶ περὶ τὸ σῶμα ἢ τὸ ἀγαθὸν ἢ τὸ ἡδύ, καὶ περὶ τὴν ψυχὴν ὁμοίως· καὶ περὶ τὸ σῶμα ἢ τῷ φυλάττειν αὐτὸ ὑγιαῖνον ἢ τῷ νοσοῦν ἐπανορθοῦσθαι, καὶ τὸ μὲν ἐπανορθοῦν ἐστὶν ἰατρικῆς ἀγαθόν, τὸ δὲ φυλάττειν γυμναστικῆς· ὅτι γὰρ οὐ φυλάττει ὁ 2
ἰατρός, αὐτὸ τὸ ὄνομα δηλοῖ· ἰατρικὴ γὰρ λέγεται οἷον ἰατική

1 mg. ση. ἐξ ὧν ὁ κόλαξ ὑφέστηκεν 3 mg. α´ 4 mg. β´ 5 mg. γ´ 11 mg.




21 mg.

| | | | |
|---|---|---|---|
| περὶ | τὰ καθόλου | περὶ τὰ μερικά | |
| ψυχῆς | νομοθετική | δικαστική | ψυχῆς |
| | σοφιστική | ῥητορική | |
| σώματος | γυμναστική | ἰατρική | σώματος |
| | κομμωτική | ὀψοποιητική | |

4 αὐτοῖς ς τοις M